# Πρὸς Φιλιππησίους

**1** Παῦλος καὶ Τιμόθεος[a] δοῦλοι ⸂Χριστοῦ Ἰησοῦ⸃ πᾶσιν τοῖς ἁγίοις ἐν Χριστῷ
Ἰησοῦ τοῖς οὖσιν[b] ἐν Φιλίπποις[c] σὺν ἐπισκόποις[d] καὶ διακόνοις·[e] 2 χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. 3 Εὐχαριστῶ[a]
τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ[b] ὑμῶν 4 πάντοτε ἐν πάσῃ δεήσει[a] μου ὑπὲρ
πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν[b] ποιούμενος,[c] 5 ἐπὶ τῇ κοινωνίᾳ[a] ὑμῶν
εἰς τὸ εὐαγγέλιον ἀπὸ ⸀τῆς πρώτης ἡμέρας ἄχρι τοῦ νῦν, 6 πεποιθὼς[a] αὐτὸ
τοῦτο ὅτι ὁ ἐναρξάμενος[b] ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει[c] ἄχρι ἡμέρας
⸂Χριστοῦ Ἰησοῦ⸃· 7 καθώς ἐστιν[a] δίκαιον ἐμοὶ τοῦτο φρονεῖν[b] ὑπὲρ πάντων
ὑμῶν, διὰ τὸ ἔχειν[c] με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς[d] μου καὶ ἐν τῇ
ἀπολογίᾳ[e] καὶ βεβαιώσει[f] τοῦ εὐαγγελίου συγκοινωνούς[g] μου τῆς χάριτος
πάντας ὑμᾶς ὄντας·[h] 8 μάρτυς γάρ ⸀μου ὁ θεός, ὡς ἐπιποθῶ[a] πάντας ὑμᾶς ἐν
σπλάγχνοις[b] ⸂Χριστοῦ Ἰησοῦ⸃. 9 καὶ τοῦτο προσεύχομαι[a] ἵνα ἡ ἀγάπη ὑμῶν
ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ[b] ἐν ἐπιγνώσει[c] καὶ πάσῃ αἰσθήσει,[d] 10 εἰς τὸ
δοκιμάζειν[a] ὑμᾶς τὰ διαφέροντα,[b] ἵνα ἦτε[c] εἰλικρινεῖς[d] καὶ ἀπρόσκοποι[e] εἰς
ἡμέραν Χριστοῦ, 11 πεπληρωμένοι[a] ⸂καρπὸν δικαιοσύνης τὸν⸃ διὰ Ἰησοῦ
Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον[b] θεοῦ. 12 Γινώσκειν[a] δὲ ὑμᾶς βούλομαι,[b]
ἀδελφοί, ὅτι τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προκοπὴν[c] τοῦ εὐαγγελίου ἐλήλυθεν,[d]
13 ὥστε τοὺς δεσμούς[a] μου φανεροὺς[b] ἐν Χριστῷ γενέσθαι[c] ἐν ὅλῳ τῷ

---

**Chapter 1**

1 a NNMS Τιμόθεος *Timothy*
b VPPADMP
c NDMP Φίλιπποι *Philippi*
d NDMP ἐπίσκοπος *overseer*
e NDMP διάκονος *servant*

3 a V1SPAI
b NDFS μνεία *remembrance*

4 a NDFS δέησις *prayer*
b NAFS δέησις *prayer*
c VPPMNMS

5 a NDFS κοινωνία *fellowship*

6 a VPRANMS
b VPAMNMS ἐνάρχομαι *to begin*
c V3SFAI ἐπιτελέω *to finish*

7 a V3SPAI
b VNPA φρονέω *to think*
c VNPA
d NDMP δεσμός *chain*
e NDFS ἀπολογία *defense*
f NDFS βεβαίωσις *confirmation*
g NAMP συγκοινωνός *sharer*
h VPPAAMP

8 a V1SPAI ἐπιποθέω *to long for*
b NDNP σπλάγχνον *intestines*

9 a V1SPMI
b V3SPAS
c NDFS ἐπίγνωσις *knowledge*
d NDFS αἴσθησις *insight*

10 a VNPA δοκιμάζω *to test*
b VPPAANP διαφέρω *to carry*
c V2PPAS
d NNMP εἰλικρινής *pure*
e NNMP ἀπρόσκοπος *blameless*

11 a VPRPNMP
b NAMS ἔπαινος *praise*

12 a VNPA
b V1SPMI
c NAFS προκοπή *progress*
d V3SRAI

13 a NAMP δεσμός *chain*
b NAMP φανερός *visible*
c VNAM

πραιτωρίῳ[d] καὶ τοῖς λοιποῖς πᾶσιν, 14 καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν
κυρίῳ πεποιθότας[a] τοῖς δεσμοῖς[b] μου περισσοτέρως[c] τολμᾶν[d] ἀφόβως[e] τὸν
⌜λόγον λαλεῖν.[f] 15 Τινὲς μὲν καὶ διὰ φθόνον[a] καὶ ἔριν,[b] τινὲς δὲ καὶ δι᾽
εὐδοκίαν[c] τὸν Χριστὸν κηρύσσουσιν·[d] 16 οἱ μὲν ἐξ ⌜ἀγάπης, εἰδότες[a] ὅτι εἰς
ἀπολογίαν[b] τοῦ εὐαγγελίου κεῖμαι⌝,[c] 17 οἱ δὲ ἐξ ⌜ἐριθείας[a] τὸν Χριστὸν
καταγγέλλουσιν,[b] οὐχ ἁγνῶς,[c] οἰόμενοι[d] θλῖψιν ἐγείρειν[e] τοῖς δεσμοῖς[f] μου⌝.
18 τί γάρ; πλὴν ⌜ὅτι παντὶ τρόπῳ,[a] εἴτε προφάσει[b] εἴτε ἀληθείᾳ, Χριστὸς
καταγγέλλεται,[c] καὶ ἐν τούτῳ χαίρω·[d] ἀλλὰ καὶ χαρήσομαι,[e] 19 οἶδα[a] γὰρ ὅτι
τοῦτό μοι ἀποβήσεται[b] εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως[c] καὶ ἐπιχορηγίας[d]
τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, 20 κατὰ τὴν ἀποκαραδοκίαν[a] καὶ ἐλπίδα μου
ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι,[b] ἀλλ᾽ ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ νῦν
μεγαλυνθήσεται[c] Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου.
21 ἐμοὶ γὰρ τὸ ζῆν[a] Χριστὸς καὶ τὸ ἀποθανεῖν[b] κέρδος.[c] 22 εἰ δὲ τὸ ζῆν[a] ἐν
σαρκί, τοῦτό μοι καρπὸς ἔργου— καὶ τί αἱρήσομαι[b] οὐ γνωρίζω·[c]
23 συνέχομαι[a] δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων[b] εἰς τὸ ἀναλῦσαι[c] καὶ σὺν
Χριστῷ εἶναι,[d] πολλῷ ⌜γὰρ μᾶλλον κρεῖσσον,[e] 24 τὸ δὲ ἐπιμένειν[a] ⌜ἐν τῇ
σαρκὶ ἀναγκαιότερον[b] δι᾽ ὑμᾶς. 25 καὶ τοῦτο πεποιθὼς[a] οἶδα[b] ὅτι μενῶ[c] καὶ
⌜παραμενῶ[d] πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν[e] καὶ χαρὰν τῆς πίστεως,

---

d NDNS πραιτώριον *Praetorium*
14 a VPRAAMP
b NDMP δεσμός *chain*
c περισσοτέρως *more*
d VNPA τολμάω *to dare*
e ἀφόβως *fearlessly*
f VNPA
15 a NAMS φθόνος *envy*
b NAFS ἔρις *quarrel*
c NAFS εὐδοκία *goodwill*
d V3PPAI
16 a VPRANMP
b NAFS ἀπολογία *defense*
c V1SPMI κεῖμαι *to lay*
17 a NGFS ἐριθεία *selfish ambition*
b V3PPAI καταγγέλλω *to preach*
c ἁγνῶς *purely*
d VPPMNMP οἶμαι *to think*
e VNPA
f NDMP δεσμός *chain*
18 a NDMS τρόπος *manner*
b NDFS πρόφασις *excuse*
c V3SPPI καταγγέλλω *to preach*
d V1SPAI
e V1SFPI
19 a V1SRAI
b V3SFMI ἀποβαίνω *to leave*
c NGFS δέησις *prayer*
d NGFS ἐπιχορηγία *support*
20 a NAFS ἀποκαραδοκία *eager expectation*
b V1SFPI αἰσχύνομαι *to be ashamed*
c V3SFPI μεγαλύνω *to glorify*
21 a VNPA
b VNAA
c NNNS κέρδος *gain*
22 a VNPA
b V1SFMI αἱρέομαι *to choose*
c V1SPAI γνωρίζω *to make known*
23 a V1SPPI συνέχω *to cover*
b VPPANMS
c VNAA ἀναλύω *to depart*
d VNPA
e NNNS κρείττων *better*
24 a VNPA ἐπιμένω *to stay*
b NNNS ἀναγκαῖος *necessary*
25 a VPRANMS
b V1SRAI
c V1SFAI
d V1SFAI παραμένω *to continue*
e NAFS προκοπή *progress*

26 ἵνα τὸ καύχημα[a] ὑμῶν περισσεύῃ[b] ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς
παρουσίας[c] πάλιν πρὸς ὑμᾶς. 27 Μόνον ἀξίως[a] τοῦ εὐαγγελίου τοῦ Χριστοῦ
πολιτεύεσθε,[b] ἵνα εἴτε ἐλθὼν[c] καὶ ἰδὼν[d] ὑμᾶς εἴτε ἀπὼν[e] ⸀ἀκούω[f] τὰ περὶ
ὑμῶν, ὅτι στήκετε[g] ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες[h] τῇ πίστει τοῦ
εὐαγγελίου, 28 καὶ μὴ πτυρόμενοι[a] ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων[b] (ἥτις
⸂ἐστὶν[c] αὐτοῖς⸃ ἔνδειξις[d] ἀπωλείας,[e] ⸀ὑμῶν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ,
29 ὅτι ὑμῖν ἐχαρίσθη[a] τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον[b] τὸ εἰς αὐτὸν πιστεύειν[c]
ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν),[d] 30 τὸν αὐτὸν ἀγῶνα[a] ἔχοντες[b] οἷον[c]
εἴδετε[d] ἐν ἐμοὶ καὶ νῦν ἀκούετε[e] ἐν ἐμοί.

**2** Εἴ τις οὖν παράκλησις[a] ἐν Χριστῷ, εἴ τι παραμύθιον[b] ἀγάπης, εἴ τις
κοινωνία[c] πνεύματος, εἴ τις σπλάγχνα[d] καὶ οἰκτιρμοί,[e] 2 πληρώσατέ[a] μου τὴν
χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε,[b] τὴν αὐτὴν ἀγάπην ἔχοντες,[c] σύμψυχοι,[d] τὸ ἓν
φρονοῦντες,[e] 3 μηδὲν κατ’ ἐριθείαν[a] ⸂μηδὲ κατὰ⸃ κενοδοξίαν,[b] ἀλλὰ τῇ
ταπεινοφροσύνῃ[c] ἀλλήλους ἡγούμενοι[d] ὑπερέχοντας[e] ἑαυτῶν, 4 μὴ τὰ ἑαυτῶν
⸀ἕκαστοι ⸀σκοποῦντες,[a] ἀλλὰ καὶ τὰ ἑτέρων ⸁ἕκαστοι. 5 τοῦτο ⸀φρονεῖτε[a] ἐν
ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, 6 ὃς ἐν μορφῇ[a] θεοῦ ὑπάρχων[b] οὐχ ἁρπαγμὸν[c]

---

26 a NNNS καύχημα *something to boast about*
b V3SPAS
c NGFS παρουσία *presence*
27 a ἀξίως *worthily*
b V2PPMM πολιτεύομαι *to fulfill one’s duty*
c VPAANMS
d VPAANMS
e VPPANMS ἄπειμι *to be absent*
f V1SPAS
g V2PPAI στήκω *to stand*
h VPPANMP συναθλέω *to contend at one’s side*
28 a VPPPNMP πτύρομαι *to be frightened*
b VPPMGMP ἀντίκειμαι *to be an opponent*
c V3SPAI
d NNFS ἔνδειξις *demonstration*
e NGFS ἀπώλεια *destruction*
29 a V3SAPI χαρίζομαι *to give grace*
b μόνον *only*
c VNPA
d VNPA
30 a NAMS ἀγών *struggle*
b VPPANMP
c NAMS οἷος *what sort of*
d V2PAAI
e V2PPAI

**Chapter 2**

1 a NNFS παράκλησις *encouragement*
b NNNS παραμύθιον *comfort*
c NNFS κοινωνία *fellowship*
d NNNP σπλάγχνον *intestines*
e NNMP οἰκτιρμός *compassion*
2 a V2PAAM
b V2PPAS φρονέω *to think*
c VPPANMP
d NNMP σύμψυχος *united in spirit*
e VPPANMP φρονέω *to think*
3 a NAFS ἐριθεία *selfish ambition*
b NAFS κενοδοξία *vain conceit*
c NDFS ταπεινοφροσύνη *humility*
d VPPMNMP ἡγέομαι *to lead*
e VPPAAMP ὑπερέχω *to govern*
4 a VPPANMP σκοπέω *to watch out for*
5 a V2PPAM φρονέω *to think*
6 a NDFS μορφή *form*
b VPPANMS
c NAMS ἁρπαγμός *something to hold onto*

ἡγήσατο[d] τὸ εἶναι[e] ἴσα[f] θεῷ, 7 ἀλλὰ ἑαυτὸν ἐκένωσεν[a] μορφὴν[b] δούλου
λαβών,[c] ἐν ὁμοιώματι[d] ἀνθρώπων γενόμενος·[e] καὶ σχήματι[f] εὑρεθεὶς[g] ὡς
ἄνθρωπος 8 ἐταπείνωσεν[a] ἑαυτὸν γενόμενος[b] ὑπήκοος[c] μέχρι[d] θανάτου,
θανάτου δὲ σταυροῦ·[e] 9 διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν,[a] καὶ ἐχαρίσατο[b]
αὐτῷ ⸀τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, 10 ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ[a]
κάμψῃ[b] ἐπουρανίων[c] καὶ ἐπιγείων[d] καὶ καταχθονίων,[e] 11 καὶ πᾶσα γλῶσσα
ἐξομολογήσηται[a] ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. 12 Ὥστε,
ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε,[a] μὴ ὡς ἐν τῇ παρουσίᾳ[b] μου
μόνον ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ[c] μου, μετὰ φόβου καὶ τρόμου[d]
τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε,[e] 13 ⸀θεὸς γάρ ἐστιν[a] ὁ ἐνεργῶν[b] ἐν ὑμῖν
καὶ τὸ θέλειν[c] καὶ τὸ ἐνεργεῖν[d] ὑπὲρ τῆς εὐδοκίας.[e] 14 Πάντα ποιεῖτε[a] χωρὶς
γογγυσμῶν[b] καὶ διαλογισμῶν,[c] 15 ἵνα γένησθε[a] ἄμεμπτοι[b] καὶ ἀκέραιοι,[c]
τέκνα θεοῦ ⸂ἄμωμα[d] μέσον⸃ γενεᾶς σκολιᾶς[e] καὶ διεστραμμένης,[f] ἐν οἷς
φαίνεσθε[g] ὡς φωστῆρες[h] ἐν κόσμῳ 16 λόγον ζωῆς ἐπέχοντες,[a] εἰς καύχημα[b]
ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν[c] ἔδραμον[d] οὐδὲ εἰς κενὸν[e]

---

d V3SAMI ἡγέομαι *to lead*
e VNPA
f NANP ἴσος *equal*
7 a V3SAAI κενόω *to empty*
b NAFS μορφή *form*
c VPAANMS
d NDNS ὁμοίωμα *likeness*
e VPAMNMS
f NDNS σχῆμα *form*
g VPAPNMS
8 a V3SAAI ταπεινόω *to humble*
b VPAMNMS
c NNMS ὑπήκοος *obedient*
d μέχρι(ς) *until*
e NGMS σταυρός *cross*
9 a V3SAAI ὑπερυψόω *to exalt supremely,*
b V3SAMI χαρίζομαι *to give grace*
10 a NNNS γόνυ *knee*
b V3SAAS κάμπτω *to bend*
c NGMP ἐπουράνιος *heavenly*
d NGMP ἐπίγειος *being on the earth*
e NGMP καταχθόνιος *under the earth*
11 a V3SAMS ἐξομολογέω *to consent*
12 a V2PAAI ὑπακούω *to obey*
b NDFS παρουσία *presence*
c NDFS ἀπουσία *absence*
d NGMS τρόμος *trembling*
e V2PPMM κατεργάζομαι *to produce*
13 a V3SPAI
b VPPANMS ἐνεργέω *to be at work in*
c VNPA
d VNPA ἐνεργέω *to be at work in*
e NGFS εὐδοκία *goodwill*
14 a V2PPAM
b NGMP γογγυσμός *complaint*
c NGMP διαλογισμός *thought*
15 a V2PAMS
b NNMP ἄμεμπτος *blameless*
c NNMP ἀκέραιος *innocent*
d NNNP ἄμωμος *unblemished*
e NGFS σκολιός *crooked*
f VPRPGFS διαστρέφω *to subvert*
g V2PPMI
h NNMP φωστήρ *star*
16 a VPPANMP ἐπέχω *hold out*
b NANS καύχημα *something to boast about*
c NANS κενός *empty*
d V1SAAI τρέχω *to run*
e NANS κενός *empty*

ἐκοπίασα.[f] 17 ἀλλὰ εἰ καὶ σπένδομαι[a] ἐπὶ τῇ θυσίᾳ[b] καὶ λειτουργίᾳ[c] τῆς
πίστεως ὑμῶν, χαίρω[d] καὶ συγχαίρω[e] πᾶσιν ὑμῖν· 18 τὸ δὲ αὐτὸ καὶ ὑμεῖς
χαίρετε[a] καὶ συγχαίρετέ[b] μοι. 19 Ἐλπίζω[a] δὲ ἐν κυρίῳ Ἰησοῦ Τιμόθεον[b]
ταχέως[c] πέμψαι[d] ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ[e] γνοὺς[f] τὰ περὶ ὑμῶν. 20 οὐδένα
γὰρ ἔχω[a] ἰσόψυχον[b] ὅστις γνησίως[c] τὰ περὶ ὑμῶν μεριμνήσει,[d] 21 οἱ πάντες
γὰρ τὰ ἑαυτῶν ζητοῦσιν,[a] οὐ τὰ ⸂Ἰησοῦ Χριστοῦ⸃. 22 τὴν δὲ δοκιμὴν[a] αὐτοῦ
γινώσκετε,[b] ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν[c] εἰς τὸ εὐαγγέλιον.
23 τοῦτον μὲν οὖν ἐλπίζω[a] πέμψαι[b] ὡς ἂν ἀφίδω[c] τὰ περὶ ἐμὲ ἐξαυτῆς·[d]
24 πέποιθα[a] δὲ ἐν κυρίῳ ὅτι καὶ αὐτὸς ταχέως[b] ἐλεύσομαι.[c] 25 Ἀναγκαῖον[a] δὲ
ἡγησάμην[b] Ἐπαφρόδιτον[c] τὸν ἀδελφὸν καὶ συνεργὸν[d] καὶ συστρατιώτην[e]
μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν[f] τῆς χρείας μου, πέμψαι[g] πρὸς ὑμᾶς,
26 ἐπειδὴ[a] ἐπιποθῶν[b] ἦν[c] πάντας ⸀ὑμᾶς, καὶ ἀδημονῶν[d] διότι[e] ἠκούσατε[f] ὅτι
ἠσθένησεν.[g] 27 καὶ γὰρ ἠσθένησεν[a] παραπλήσιον[b] ⸀θανάτῳ· ἀλλὰ ὁ θεὸς
⸂ἠλέησεν[c] αὐτόν⸃, οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην[d] ἐπὶ
λύπην[e] σχῶ.[f] 28 σπουδαιοτέρως[a] οὖν ἔπεμψα[b] αὐτὸν ἵνα ἰδόντες[c] αὐτὸν πάλιν
χαρῆτε[d] κἀγὼ ἀλυπότερος[e] ὦ.[f] 29 προσδέχεσθε[a] οὖν αὐτὸν ἐν κυρίῳ μετὰ

---

f V1SAAI κοπιάω *to work*
17 a V1SPPI σπένδομαι *to be poured out a libation*
b NDFS θυσία *sacrifice*
c NDFS λειτουργία *religious service*
d V1SPAI
e V1SPAI συγχαίρω *to rejoice with*
18 a V2PPAM
b V2PPAM συγχαίρω *to rejoice with*
19 a V1SPAI
b NAMS Τιμόθεος *Timothy*
c ταχέως *quickly*
d VNAA
e V1SPAS εὐψυχέω *to be cheerful*
f VPAANMS
20 a V1SPAI
b NAMS ἰσόψυχος *like*
c γνησίως *genuinely*
d V3SFAI μεριμνάω *to worry*
21 a V3PPAI
22 a NAFS δοκιμή *character*
b V2PPAI
c V3SAAI δουλεύω *to serve*
23 a V1SPAI
b VNAA
c V1SAAS ἀφοράω *to fix one's eyes*
d ἐξαυτῆς *immediately*
24 a V1SRAI
b ταχέως *quickly*
c V1SFMI
25 a NNNS ἀναγκαῖος *necessary*
b V1SAMI ἡγέομαι *to lead*
c NAMS Ἐπαφρόδιτος *Epaphroditus*
d NAMS συνεργός *fellow worker*
e NAMS συστρατιώτης *fellow soldier*
f NAMS λειτουργός *servant*
g VNAA
26 a ἐπειδή *when*
b VPPANMS ἐπιποθέω *to long for*
c V3SIAI
d VPPANMS ἀδημονέω *to be troubled*
e διότι *therefore*
f V2PAAI
g V3SAAI
27 a V3SAAI
b NANS παραπλήσιον *almost*
c V3SAAI
d NAFS λύπη *sorrow*
e NAFS λύπη *sorrow*
f V1SAAS
28 a σπουδαίως *earnestly*
b V1SAAI
c VPAANMP
d V2PAPS
e NNMS ἀλυπότερος *free from anxiety*
f V1SPAS
29 a V2PPMM προσδέχομαι *to receive*

πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους[b] ἔχετε,[c] 30 ὅτι διὰ τὸ ἔργον
⸀Χριστοῦ μέχρι[a] θανάτου ἤγγισεν,[b] ⸀παραβολευσάμενος[c] τῇ ψυχῇ ἵνα
ἀναπληρώσῃ[d] τὸ ὑμῶν ὑστέρημα[e] τῆς πρός με λειτουργίας.[f]

**3** Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε[a] ἐν κυρίῳ. τὰ αὐτὰ γράφειν[b] ὑμῖν ἐμοὶ
μὲν οὐκ ὀκνηρόν,[c] ὑμῖν δὲ ἀσφαλές.[d] 2 Βλέπετε[a] τοὺς κύνας,[b] βλέπετε[c] τοὺς
κακοὺς ἐργάτας,[d] βλέπετε[e] τὴν κατατομήν.[f] 3 ἡμεῖς γάρ ἐσμεν[a] ἡ περιτομή,
οἱ πνεύματι θεοῦ λατρεύοντες[b] καὶ καυχώμενοι[c] ἐν Χριστῷ Ἰησοῦ καὶ οὐκ ἐν
σαρκὶ πεποιθότες,[d] 4 καίπερ[a] ἐγὼ ἔχων[b] πεποίθησιν[c] καὶ ἐν σαρκί. Εἴ τις
δοκεῖ[d] ἄλλος πεποιθέναι[e] ἐν σαρκί, ἐγὼ μᾶλλον· 5 περιτομῇ ὀκταήμερος,[a] ἐκ
γένους[b] Ἰσραήλ, φυλῆς Βενιαμίν,[c] Ἑβραῖος[d] ἐξ Ἑβραίων,[e] κατὰ νόμον
Φαρισαῖος, 6 κατὰ ⸀ζῆλος[a] διώκων[b] τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν
νόμῳ γενόμενος[c] ἄμεμπτος.[d] 7 Ἀλλὰ ἅτινα ἦν[a] μοι κέρδη,[b] ταῦτα ἥγημαι[c] διὰ
τὸν Χριστὸν ζημίαν.[d] 8 ἀλλὰ ⸀μενοῦνγε[a] καὶ ἡγοῦμαι[b] πάντα ζημίαν[c] εἶναι[d]
διὰ τὸ ὑπερέχον[e] τῆς γνώσεως[f] Χριστοῦ Ἰησοῦ τοῦ κυρίου μου δι’ ὃν τὰ πάντα
ἐζημιώθην,[g] καὶ ἡγοῦμαι[h] ⸀σκύβαλα[i] ἵνα Χριστὸν κερδήσω[j] 9 καὶ εὑρεθῶ[a] ἐν
αὐτῷ, μὴ ἔχων[b] ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου ἀλλὰ τὴν διὰ πίστεως

---

b NAMP ἔντιμος *highly valued*
c V2PPAM
30 a μέχρι(ς) *until*
b V3SAAI
c VPAMNMS παραβολεύομαι *to risk*
d V3SAAS ἀναπληρόω *to fulfill*
e NANS ὑστέρημα *what is lacking*
f NGFS λειτουργία *religious service*

**Chapter 3**
1 a V2PPAM
b VNPA
c NNNS ὀκνηρός *lazy*
d NNNS ἀσφαλής *safe*
2 a V2PPAM
b NAMP κύων *dog*
c V2PPAM
d NAMP ἐργάτης *worker*
e V2PPAM
f NAFS κατατομή *mutilation*
3 a V1PPAI
b VPPANMP λατρεύω *to serve*
c VPPMNMP
d VPRANMP
4 a καίπερ *though*
b VPPANMS
c NAFS πεποίθησις *confidence*
d V3SPAI
e VNRA
5 a NNMS ὀκταήμερος *eighth day*
b NGNS γένος *family*
c NGMS Βενιαμίν *Benjamin*
d NNMS Ἑβραῖος *a Hebrew*
e NGMP Ἑβραῖος *a Hebrew*
6 a NANS ζῆλος *zeal*
b VPPANMS
c VPAMNMS
d NNMS ἄμεμπτος *blameless*
7 a V3SIAI
b NNNP κέρδος *gain*
c V1SRMI ἡγέομαι *to lead*
d NAFS ζημία *loss*
8 a μενοῦνγε *rather*
b V1SPMI ἡγέομαι *to lead*
c NAFS ζημία *loss*
d VNPA
e VPPAANS ὑπερέχω *to govern*
f NGFS γνῶσις *knowledge*
g V1SAPI ζημιόω *to forfeit*
h V1SPMI ἡγέομαι *to lead*
i NANP σκύβαλον *rubbish*
j V1SAAS κερδαίνω *to gain*
9 a V1SAPS
b VPPANMS

Χριστοῦ, τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, 10 τοῦ γνῶναι[a] αὐτὸν καὶ τὴν
δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ ⸀κοινωνίαν[b] παθημάτων[c] αὐτοῦ,
⸀συμμορφιζόμενος[d] τῷ θανάτῳ αὐτοῦ, 11 εἴ πως καταντήσω[a] εἰς τὴν
ἐξανάστασιν[b] ⸂τὴν ἐκ⸃ νεκρῶν. 12 Οὐχ ὅτι ἤδη ἔλαβον[a] ἢ ἤδη τετελείωμαι,[b]
διώκω[c] δὲ εἰ καὶ καταλάβω,[d] ἐφ’ ᾧ καὶ κατελήμφθην[e] ὑπὸ ⸀Χριστοῦ.
13 ἀδελφοί, ἐγὼ ἐμαυτὸν ⸀οὐ λογίζομαι[a] κατειληφέναι·[b] ἓν δέ, τὰ μὲν ὀπίσω
ἐπιλανθανόμενος[c] τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος,[d] 14 κατὰ σκοπὸν[a]
διώκω[b] ⸀εἰς τὸ βραβεῖον[c] τῆς ἄνω[d] κλήσεως[e] τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ.
15 ὅσοι οὖν τέλειοι,[a] τοῦτο φρονῶμεν·[b] καὶ εἴ τι ἑτέρως[c] φρονεῖτε,[d] καὶ τοῦτο
ὁ θεὸς ὑμῖν ἀποκαλύψει·[e] 16 πλὴν εἰς ὃ ἐφθάσαμεν,[a] τῷ αὐτῷ ⸀στοιχεῖν.[b]
17 Συμμιμηταί[a] μου γίνεσθε,[b] ἀδελφοί, καὶ σκοπεῖτε[c] τοὺς οὕτω
περιπατοῦντας[d] καθὼς ἔχετε[e] τύπον[f] ἡμᾶς· 18 πολλοὶ γὰρ περιπατοῦσιν[a] οὓς
πολλάκις[b] ἔλεγον[c] ὑμῖν, νῦν δὲ καὶ κλαίων[d] λέγω,[e] τοὺς ἐχθροὺς τοῦ σταυροῦ[f]
τοῦ Χριστοῦ, 19 ὧν τὸ τέλος ἀπώλεια,[a] ὧν ὁ θεὸς ἡ κοιλία[b] καὶ ἡ δόξα ἐν τῇ
αἰσχύνῃ[c] αὐτῶν, οἱ τὰ ἐπίγεια[d] φρονοῦντες.[e] 20 ἡμῶν γὰρ τὸ πολίτευμα[a] ἐν
οὐρανοῖς ὑπάρχει,[b] ἐξ οὗ καὶ σωτῆρα[c] ἀπεκδεχόμεθα[d] κύριον Ἰησοῦν Χριστόν,

---

10 a VNAA
b NAFS κοινωνία *fellowship*
c NGNP πάθημα *suffering*
d VPPPNMS συμμορφίζομαι *to become like*
11 a V1SAAS καταντάω *to come to*
b NAFS ἐξανάστασις *resurrection*
12 a V1SAAI
b V1SRPI τελειόω *to perfect*
c V1SPAI
d V1SAAS καταλαμβάνω *to obtain*
e V1SAPI καταλαμβάνω *to obtain*
13 a V1SPMI
b VNRA καταλαμβάνω *to obtain*
c VPPMNMS ἐπιλανθάνομαι *to forget*
d VPPMNMS ἐπεκτείνομαι *to strain toward*
14 a NAMS σκοπός *goal*
b V1SPAI
c NANS βραβεῖον *prize*
d ἄνω *above*
e NGFS κλῆσις *call*
15 a NNMP τέλειος *perfect*
b V1PPAS φρονέω *to think*
c ἑτέρως *otherwise*
d V2PPAI φρονέω *to think*
e V3SFAI ἀποκαλύπτω *to reveal*
16 a V1PAAI φθάνω *to precede*
b VNPA στοιχέω *to follow*
17 a NNMP συμμιμητής *fellow imitator*
b V2PPMM
c V2PPAM σκοπέω *to watch out for*
d VPPAAMP
e V2PPAI
f NAMS τύπος *pattern*
18 a V3PPAI
b πολλάκις *many times*
c V1SIAI
d VPPANMS
e V1SPAI
f NGMS σταυρός *cross*
19 a NNFS ἀπώλεια *destruction*
b NNFS κοιλία *any and all internal organs*
c NDFS αἰσχύνη *shamefulness*
d NANP ἐπίγειος *being on the earth*
e VPPANMP φρονέω *to think*
20 a NNNS πολίτευμα *citizenship*
b V3SPAI
c NAMS σωτήρ *Savior*
d V1PPMI ἀπεκδέχομαι *wait eagerly for*

21 ὃς μετασχηματίσει[a] τὸ σῶμα τῆς ταπεινώσεως[b] ⸀ἡμῶν σύμμορφον[c] τῷ
σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν[d] τοῦ δύνασθαι[e] αὐτὸν καὶ
ὑποτάξαι[f] ⸀αὐτῷ τὰ πάντα.

**4** ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι,[a] χαρὰ καὶ στέφανός[b] μου,
οὕτως στήκετε[c] ἐν κυρίῳ, ἀγαπητοί. 2 Εὐοδίαν[a] παρακαλῶ[b] καὶ Συντύχην[c]
παρακαλῶ[d] τὸ αὐτὸ φρονεῖν[e] ἐν κυρίῳ. 3 ναὶ ἐρωτῶ[a] καὶ σέ, ⸂γνήσιε[b]
σύζυγε⸃,[c] συλλαμβάνου[d] αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν[e] μοι
μετὰ καὶ Κλήμεντος[f] καὶ τῶν λοιπῶν συνεργῶν[g] μου, ὧν τὰ ὀνόματα ἐν
βίβλῳ[h] ζωῆς. 4 Χαίρετε[a] ἐν κυρίῳ πάντοτε· πάλιν ἐρῶ,[b] χαίρετε.[c] 5 τὸ
ἐπιεικὲς[a] ὑμῶν γνωσθήτω[b] πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς· 6 μηδὲν
μεριμνᾶτε,[a] ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει[b] μετ' εὐχαριστίας[c] τὰ
αἰτήματα[d] ὑμῶν γνωριζέσθω[e] πρὸς τὸν θεόν· 7 καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ
ὑπερέχουσα[a] πάντα νοῦν[b] φρουρήσει[c] τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα[d]
ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. 8 Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν[a] ἀληθῆ,[b] ὅσα σεμνά,[c]
ὅσα δίκαια, ὅσα ἁγνά,[d] ὅσα προσφιλῆ,[e] ὅσα εὔφημα,[f] εἴ τις ἀρετὴ[g] καὶ εἴ τις
ἔπαινος,[h] ταῦτα λογίζεσθε·[i] 9 ἃ καὶ ἐμάθετε[a] καὶ παρελάβετε[b] καὶ ἠκούσατε[c]

---

21 a V3SFAI μετασχηματίζω *to transform*
b NGFS ταπείνωσις *humbleness*
c NANS σύμμορφος *conformed*
d NAFS ἐνέργεια *working*
e VNPM
f VNAA

**Chapter 4**

1 a NMP ἐπιπόθητος *longed for*
b NMS στέφανος *a crown*
c V2PPAM στήκω *to stand*
2 a NAFS Εὐοδία *Euodia*
b V1SPAI
c NAFS Συντύχη *Syntyche*
d V1SPAI
e VNPA φρονέω *to think*
3 a V1SPAI
b NMS γνήσιος *true*
c NMS σύζυγος *yokefellow*
d V2SPMM συλλαμβάνω *to seize*
e V3PAAI συναθλέω *to contend at one's side*
f NGMS Κλήμης *Clement*
g NGMP συνεργός *fellow worker*
h NDFS βίβλος *book*
4 a V2PPAM
b V1SFAI
c V2PPAM
5 a NNNS ἐπιεικής *gentle*
b V3SAPM
6 a V2PPAM μεριμνάω *to worry*
b NDFS δέησις *prayer*
c NGFS εὐχαριστία *expression of thanks*
d NNNP αἴτημα *request*
e V3SPPM γνωρίζω *to make known*
7 a VPPANFS ὑπερέχω *to govern*
b NAMS νοῦς *mind*
c V3SFAI φρουρέω *to guard*
d NANP νόημα *thought*
8 a V3SPAI
b NNNP ἀληθής *true*
c NNNP σεμνός *worthy of respect*
d NNNP ἁγνός *pure*
e NNNP προσφιλής *lovely*
f NNNP εὔφημος *admirable*
g NNFS ἀρετή *goodness*
h NNMS ἔπαινος *praise*
i V2PPMM
9 a V2PAAI μανθάνω *to learn*
b V2PAAI
c V2PAAI

καὶ εἴδετε[d] ἐν ἐμοί, ταῦτα πράσσετε·[e] καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται[f] μεθ’ ὑμῶν.
10 Ἐχάρην[a] δὲ ἐν κυρίῳ μεγάλως[b] ὅτι ἤδη ποτὲ ἀνεθάλετε[c] τὸ ὑπὲρ ἐμοῦ
φρονεῖν,[d] ἐφ’ ᾧ καὶ ἐφρονεῖτε[e] ἠκαιρεῖσθε[f] δέ. 11 οὐχ ὅτι καθ’ ὑστέρησιν[a]
λέγω,[b] ἐγὼ γὰρ ἔμαθον[c] ἐν οἷς εἰμι[d] αὐτάρκης[e] εἶναι·[f] 12 οἶδα[a] καὶ
ταπεινοῦσθαι,[b] οἶδα[c] καὶ περισσεύειν·[d] ἐν παντὶ καὶ ἐν πᾶσιν μεμύημαι,[e] καὶ
χορτάζεσθαι[f] καὶ πεινᾶν,[g] καὶ περισσεύειν[h] καὶ ὑστερεῖσθαι·[i] 13 πάντα ἰσχύω[a]
ἐν τῷ ἐνδυναμοῦντί[b] ⸀με. 14 πλὴν καλῶς ἐποιήσατε[a] συγκοινωνήσαντές[b] μου
τῇ θλίψει. 15 Οἴδατε[a] δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι,[b] ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου,
ὅτε ἐξῆλθον[c] ἀπὸ Μακεδονίας,[d] οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν[e] εἰς λόγον
δόσεως[f] καὶ λήμψεως[g] εἰ μὴ ὑμεῖς μόνοι, 16 ὅτι καὶ ἐν Θεσσαλονίκῃ[a] καὶ
ἅπαξ[b] καὶ δὶς[c] εἰς τὴν χρείαν μοι ἐπέμψατε.[d] 17 οὐχ ὅτι ἐπιζητῶ[a] τὸ δόμα,[b]
ἀλλὰ ἐπιζητῶ[c] τὸν καρπὸν τὸν πλεονάζοντα[d] εἰς λόγον ὑμῶν. 18 ἀπέχω[a] δὲ
πάντα καὶ περισσεύω·[b] πεπλήρωμαι[c] δεξάμενος[d] παρὰ Ἐπαφροδίτου[e] τὰ παρ’
ὑμῶν, ὀσμὴν[f] εὐωδίας,[g] θυσίαν[h] δεκτήν,[i] εὐάρεστον[j] τῷ θεῷ. 19 ὁ δὲ θεός μου
πληρώσει[a] πᾶσαν χρείαν ὑμῶν κατὰ ⸂τὸ πλοῦτος⸃[b] αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ
Ἰησοῦ. 20 τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

d V2PAAI
e V2PPAM
f V3SFMI
10 a V1SAPI
b μεγάλως *greatly*
c V2PAAI ἀναθάλλω *to renew*
d VNPA φρονέω *to think*
e V2PIAI φρονέω *to think*
f V2PIMI ἀκαιρέομαι *to have no opportunity*
11 a NAFS ὑστέρησις *need*
b V1SPAI
c V1SAAI μανθάνω *to learn*
d V1SPAI
e NNMS αὐτάρκης *content*
f VNPA
12 a V1SRAI
b VNPP ταπεινόω *to humble*
c V1SRAI
d VNPA
e V1SRPI μυέομαι *to learn a secret*
f VNPP χορτάζω *to feed*
g VNPA πεινάω *to be hungry*
h VNPA
i VNPP ὑστερέω *to lack*
13 a V1SPAI ἰσχύω *to be strong*
b VPPADMS ἐνδυναμόω *to give strength*
14 a V2PAAI
b VPAANMP συγκοινωνέω *to share with*
15 a V2PRAI
b NMP Φιλιππήσιος *Philippian*
c V1SAAI
d NGFS Μακεδονία *Macedonia*
e V3SAAI κοινωνέω *to share in*
f NGFS δόσις *gift*
g NGFS λῆμψις *receiving*
16 a NDFS Θεσσαλονίκη *Thessalonica*
b ἅπαξ *once*
c δίς *twice*
d V2PAAI
17 a V1SPAI ἐπιζητέω *to look for*
b NANS δόμα *gift*
c V1SPAI ἐπιζητέω *to look for*
d VPPAAMS πλεονάζω *to make increase*
18 a V1SPAI ἀπέχω *to receive*
b V1SPAI
c V1SRPI
d VPAMNMS
e NGMS Ἐπαφρόδιτος *Epaphroditus*
f NAFS ὀσμή *fragrance*
g NGFS εὐωδία *a sweet smell*
h NAFS θυσία *sacrifice*
i NAFS δεκτός *acceptable*
j NAFS εὐάρεστος *pleasing*
19 a V3SFAI
b NANS πλοῦτος *riches*

21 Ἀσπάσασθε[a] πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται[b] ὑμᾶς οἱ σὺν ἐμοὶ
ἀδελφοί. 22 ἀσπάζονται[a] ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα[b] δὲ οἱ ἐκ τῆς
Καίσαρος[c] οἰκίας. 23 ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ ⸂τοῦ πνεύματος⸃
⸀ὑμῶν.

---

21 a V2PAMM
b V3PPMI

22 a V3PPMI
b *μάλιστα* *especially*
c NGMS Καῖσαρ *Caesar*